# ΚΥΡΙΑΚΗ Ι΄

Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ νέου ἐκκλησιαστικοῦ ἔτους· Ἰησοῦ τοῦ Ναυῆ (1400 π.Χ.), Ἀμμοὺν διακόνου καὶ τῶν σὺν αὐτῷ 40 γυναικῶν Μαρτύρων· Καλλίστης, Εὐόδου καὶ Ἑρμογένους τῶν αὐταδέλφων Μαρτύρων· Συμεὼν τοῦ στυλίτου (†459). Μελετίου ὁσίου.

Ἦχος α΄, ἑωθινὸν ι΄

(Τ.Μ.Ε., 1η Σεπτεμβρίου, §§ 4 – 6)

## ΕΝ ΤΩι ΕΣΠΕΡΙΝΩι

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης.

Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ, τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμός ργ' (103ος)

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε, ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς Σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς Σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων Σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἅς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησεν σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς Σου.

Αὕτη ἡ θάλασσα, ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτήν.

Πάντα πρὸς Σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος Σου αὐτοῖς, συλλέξουσι.

Ἀνοίξαντός Σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ Σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι.

Ἐξαποστελεῖς τὸ πνεῦμά Σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός



Ὁ Διάκονος.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός (μεθ’ ἑκάστην δέησιν).

Ἦχος Νη




Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β΄ χορός·




Ἀθ. Καραμάνη († 2012)

Ἦχος Νη




Ὁ β΄ χορός·






Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β΄ χορός·




Ὁ Διάκονος·

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ιερεύς

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμή καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος Πα

Ὁ α΄ χορός·




Ψαλμὸς ρμ΄ (140)


Κυ ρι ε ε κε ε κρα α ξα α προ ο ος Σε ε εισ
α κου σοο ο ον μου ει σα α κουου σο ον μουου
Κυ υ υ ρι ι ι ι ε Κυ ρι ε ε κε ε κρα α
ξα προ ος Σε ε εισ α κου σο ο οον μου ου προ οσ
χες τη φω νη η η τη η ης δε η η σε ε ε ω ω
ω ως μου (1) εν τω ω κε κρα γε ε ναι αι με ε προ ο
ο ος Σε ε ε εισ α α α κουουου σο ον μου Κυ υ
υ υ ρι ι ι ι ε

Ὁ β´χορός.


Κατ ευ θυν θη η η η η η τω η προ ο ο σε ευ χη
η η η μου ως θυ μι ι α α μα α α ε νω ω πι

---

1 
εν τω κε κρα γε ε ναι αι αι με προ ος




Καὶ κατόπιν, ἀντιφωνικῶς ὑπὸ τῶν δύο χορῶν

(Οἱ στίχοι αὐτοὶ τῶν ψαλμῶν ρμ´ και ρμα´, ἐν ταῖς ἐνορίαις συνήθως παραλείπονται.)




Π αι δευ σει με δι ι καιος εν ε λε ει και ε λεγ ξει
με ε ε λαιον δε α μαρ τω λου μη λι πα να α τω την κε
φα λην μου
Θ τι ε τι και η προ σευ χη μου εν ταις ευ δο κι
αις αυ των κα τε πο θη σαν ε χο με ναι πε τρας οι κρι
ται αυ των
Α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη σαν ω
σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι
σθη τα οστα αυ των πα ρα τον Α α δην
Θ τι προς Σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
μου ε πι Σοι οι η λ πι σα μη αν τα νε λης την ψυ χην μου


Φ υ λαξον με α πο πα γι ι δος ης συ νε στη σαν το
μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την α
νο μι αν
(κ) (π)
Π ε σουν ται αι εν αμ φι βλη στρω αυ των οι α μαρ τω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελθω
Ψαλμὸς ρμα΄ (141)
Φ ω νη η μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου
προς Κυ υ ρι ον ε δε η θην
Ε κ χε ω ε νω πι ον Αυ του την δε η σιν μου την θλι
ψιν μου ε νω πι ον Αυ του α παγ γε λω
Ε ω τω εκ λει ει πει ειν εξ ε μου το πνευ μα μου και Συ
εγ νως τας τρι βους μου
Ε ν ο δω τα αυ τη η ε πο ρευ ο μην ε κρυ ψαν πα
γι δα μοι


Κ ατ ε νο ουν εις τα δε ξι α και ε πε βλε πον και
ουκ η ην ο ε πι γι νω σκων με
Α πωλε το φυ γη απ ε μου και ουκ ε ε στιν ο εκζη
τω ων την ψυ χην μου
Ε κε ε κρα ξα προς Σε Κυ ρι ε ει πα Συ ει η ελ πις
μου με ρι ις μου ει εν γη ζω ων των
Π ρο σχες προς την δε η σιν μου ο ο τι ε τα πει νω
θην σφο δρα
Ρ υ σαι με εκ των κα τα δι ω κον των με ο ο τι ε κρα
ται ω θη σαν υ περ ε με ε ε
Ὁ α΄χορός.
(Μ) (Π)
Ε ξα γα γε εκ φυ λα κης την ψυ χην του του ε
ξο μο λο γη σασθαι τω ο νο ο μα α α τι ι ι ι
Σου


(2) Τ ας ε σπε ρι να ας η μω ων ε ε ευ χα ας προ σδε
ξαι Α α γι ι ι ε Κυ υ υ υ ρι ι ι ι ε και πα α
ρα σχου η μι ιν α α α φε ε σιν α α μαρ τι ι ων
ο τι μο ο νο ος ει ο δει ξας εν κο ο σμω την α να
α α α στα α α α α σιν

Ὁ β´χορός.


Ε με υ πο με νου σι δι και οι ε ως ου αν
τα α πο δω ω ω ως μοι
Κ υ κλω σα τε λα α οι Σι ω ω ων και πε ρι λα α βε
τε ε ε α α α αυ την και δο τε δο ξαν εν αυ τη τω
α να στα αν τι ι εκ νε ε κρων ο τι Αυ τος ε στι ι ι


2
Τας ε σπε ρι


ι ιν ο ο Θε ο ο ο οος η η η η μω ων ο
λυ τρω σα α με ε νος η η μα ας εκ των α νο μι
ω ω ω ων η η η η μων
Ὁ α΄χορός.
Ε κ βα θε ων ε κε κρα ξα Σοι Κυ ρι ε Κυ ρι
ε ει σα κου σον της φω ω νη η η ης μου
Δευ τε λα οι υ μνη η σω ω ω μεν και προ σκυ νη η
σω μεν Χρι στο ο ον δο ξα ζον τες Αυ του την εκ νε
κρω ων Α να α α α στα α α α σιν ο τι Αυ το ος ε
στι ι ι ι ιν ο ο Θε ο ο οος η η η η μω

ων Δ(3) ο εκ της πλα α νη ης του εχ θρου ου ου τον

κο ο ο σμον λυ τρω σα α α α με ε ε ε νος

Ἕτερα Στιχηρὰ Ἀνατολικά.

Ὁ β΄χορός.

Γ ε νη θη τω τα ω τα Σου προ σε χον τα εις την

φω νη ην της δε η σε ωω ω ως μου

Ε υ φραν θη τε ου ου ρα νοι σαλ πι σα τε τα θε με ε

λι α της γη η ης βο η η σα α τε τα α ο ο

ο ρη ε ευ φρο ο συ υ υ υ νην ι δου γαρ ο Ε εμ μα

νου ηλ τας α μαρ τι ας η μων τω Σταυ ρω ω προ ο ση

---

3 ο εκ της πλα α νη ης του ου ου ε εχ θρου

ου ου τον κο ο ο σμον




Τῆς Ἰνδίκτου

Ἦχος α'

Ὁ α΄χορός.

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται· Ὅτι παρὰ Σοὶ ὁ ἱλασμός ἐστιν.

Τῶν οὐρανίων

Τῆς αὐτολέκτου καὶ θείας διδασκαλίας Χριστοῦ, τὴν προσευχὴν μαθόντες, καθ' ἑκάστην ἡμέραν, βοήσωμεν τῷ Κτίστῃ· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς κατοικῶν, τὸν ἐπιούσιον ἄρτον δίδου ἡμῖν, παρορῶν ἡμῶν τὰ πταίσματα.

Ὁ β΄χορός.

Ἕνεκεν τοῦ ὀνόματός Σου ὑπέμεινά Σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον Σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ὡς τῶν Ἑβραίων τὰ κῶλα ἐν τῇ ἐρήμῳ ποτέ, ἀπειθησάντων ὄντως, σοὶ τῷ πάντων Δεσπότῃ, ἀξίως κατεστρώθη οὕτω καὶ νῦν, τὰ ὀστᾶ διασκόρπισον, τῶν δυσσεβῶν καὶ ἀπίστων Ἀγαρηνῶν, ψαλμικῶς παρὰ τὸν Ἅδην Χριστέ.

Ὁ α΄χορός.

---

4 

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὁ ἐν Σιναίῳ τῷ ὄρει τὰς πλάκας γράψας ποτέ, αὐτὸς καὶ νῦν ἐν πόλει, Ναζαρὲτ κατὰ σάρκα, βιβλίον κατεδέξω προφητικόν, ἀναγνῶναι Χριστὲ ὁ Θεός· καὶ τοῦτο πτύξας ἐδίδασκες τοὺς λαούς, πεπληρῶσθαι τὴν Γραφὴν ἐπὶ σοί.

## Στιχηρὰ τοῦ Ὁσίου

Ἦχος λ/π ᾳ Πα

Ὁ β´χορός.




## Αὐτόμελον

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι᾽ ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εὗρεν Ἠλίας ἅρμα πυρός· ἀλλ᾽ ἐκεῖνος μὲν τὴν ἄνοδον ἄλλοις οὐκ ἔλιπε, σὺ δὲ καὶ μετὰ θάνατον ἔχεις τὸν στῦλόν σου, Οὐράνιε ἄνθρωπε, ἐπίγειε ἄγγελε, φωστὴρ ἀκοίμητε τῆς οἰκουμένης, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ α´χορός.




Ὅσιε Πάτερ, εἰ ἦν τὸν στῦλον φθέγξασθαι, οὐκ ἂν ἐπαύσατο βοῶν σου, τοὺς πόνους τοὺς μόχθους τοὺς ὀδυρμούς· ἀλλ᾽ ἐκεῖνος ἐβαστάζετο, εἴπερ ἐβάσταζεν,

ὡς δένδρον πιαινόμενος ἐκ τῶν δακρύων σου, ἐξέστησαν Ἄγγελοι, ἐθαύμασαν ἄνθρωποι, δαίμονες ἔπτηξαν τὴν ὑπομονήν σου, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

Ὁ β΄χορός.




Ὅσιε Πάτερ, δυνάμει θείου Πνεύματος, τὸν σὸν μιμούμενος Δεσπότην, ἐν στύλῳ ἀνῆλθες ὡς ἐν σταυρῷ· ἀλλ᾽ ἐκεῖνος τὸ χειρόγραφον πάντων ἐξήλειψε, σὺ δὲ τήν ἐπανάστασιν τῶν παθῶν ἔλυσας, ἐκεῖνος ὡς πρόβατον, καὶ σὺ ὥσπερ σφάγιον· ἐκεῖνος ἐν σταυρῷ, καὶ σὺ ἐν τῷ στύλῳ, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχάς ἡμῶν.

Ἦχος λ/π Πα

Ὁ α΄χορός.




Βυζαντίου


O
πνευ μα τι Α γι ω σου
νη ημ με νος A ναρ χε Λο γε και
Υι ε ο παν των ο ρα των και α ο
ρα τω ων συμ παν τουρ γος και συ
υν δη μι ου ουρ γος το ον στε φα
νον του ε γι α αυ του ε ευ λο γη
σον φυ λα ατ τω ων την ει ρη
νη ην των ορ θο δο ξω ων
τα πλη λη
θη πρε σβει αι αις τη ης Θε




Ἦχος Πα

Ὁ β΄χορός.




Ὁ α΄χορός.

Θεοτοκίον Α΄




σμα και των πι στω ων το ο ε εγ καλ λω ω ω ω πι
ι ι ι σμα αυ τη γαρ α νε δει ει ει ει ει ει χθη ου
ου ρα νος και να α ο ος της Θε ε ο ο ο τηη η
η τος αυ τη το με σο τει χον τη ης ε εχθρας κα α
α θε ε λου ου σα ει ρη νην α α αν τει ει ση η
η η ξε και το Βα σι ι ι λει ει ει ο ον η νε ε
ε ε ε ωω ω ξε ταυ την ουν κα τε ε ε χο ο ον
τες της πι στε ως τη ην αγ κυ υ ραν υ περμα χον ε ε
χο ο μεν τον εξ α αυ της τε χθε εν τα α α Κυ ρι ι ι
ον θαρ σει τω τοι οι οι οι νυν θαρ σει τω λα ο οος του
Θε ου ου ου και γαρ Αυ τος πο λε μη η σει ει




Εἴσοδος.

Ὁ Διάκονος ἐκφωνεῖ

Ἑσπέρας Προκείμενον.

Ἦχος Βου




Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.

Ὁ Κύριος ἐβασίλευσεν…

Καὶ γὰρ ἐστερεωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.




καὶ τὰ Ἀναγνώσματα.

Ὁ Ἀναγνώστης

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. 61, 1-10)

Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιών δόξαν ἀντὶ σποδοῦ· ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης, ἀντὶ πνεύματος ἀκηδίας, καὶ κληθήσονται γενεά, δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίους, ἐξηρημωμένας τὸ πρότερον· ἐξαναστήσονται, καὶ ἀνακαινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας ἀπὸ γενεὰς εἰς γενεάν. Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ ὑμῶν. Ὑμεῖς δὲ Ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ ἡμῶν. Ῥηθήσεται ὑμῖν· ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε, ἀντί της αἰσχύνης ὑμῶν τῆς διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς, ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν. Διὰ τοῦτο τὴν γῆν αὐτῶν ἐκ δευτέρου κληρονομήσουσι, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐγὼ γὰρ εἰμι Κύριος, ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν· καὶ ὁ ὁρῶν αὐτούς, ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον εἰς τοὺς αἰῶνας ὑπὸ Θεοῦ, καὶ εὐφροσύνη εὐφρανθήσονται ἐπὶ Κύριον.

Λευϊτικοῦ τὸ Ἀνάγνωσμα (Κεφ. 26, 3-10 καὶ ἐκλογὴ)

Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραήλ, λέγων· Ἐὰν τοῖς προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσησθε, καὶ ποιῆτε αὐτάς, δώσω τὸν ὑετὸν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν, καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητόν, καὶ ὁ τρυγητός καταλήψεται τὸν σπόρον. Καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν, καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν· καὶ ἀπολῶ θηρία ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν, καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν, καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατόν, καὶ ἑκατόν ὑμῶν διώξονται μυριάδας. Καὶ ἐπιβλέψω ἐφ᾽ ὑμᾶς, καὶ εὐλογήσω ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς, καὶ στήσω τὴν διαθήκην μου μεθ᾽ ὑμῶν. Καὶ φάγεσθε παλαιά, καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε. Καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς, καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν Θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός. Ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα,

ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου προσοχθήσῃ ἡ ψυχὴ ὑμῶν, ὥς τε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν. Ἐπιστήσω ἐφ᾽ ὑμᾶς τὴν ἀπορίαν, καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται τοὺς πόνους ὑμῶν οἱ ὑπεναντίοι ὑμῶν. Καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ᾽ ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς, καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς· καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν· καὶ θήσω τὸν οὐρανὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὡσεὶ χαλκῆν. Καὶ ἔσται εἰς κενόν ἡ ἰσχὺς ὑμῶν, καὶ ἡ γῆ ὑμῶν οὐ δώσει τὸν σπόρον αὐτῆς, καὶ τὰ ξύλα τοῦ ἀγροῦ οὐ δώσει τὸν καρπὸν αὐτῶν. Καὶ ἀποστελῶ ἐφ᾽ ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς ἐπιπορευομένη μάχαιρα. Καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος καὶ αἱ ἐπαύλεις ὑμῶν ἔσονται ἔρημοι· ὅτι ὑμεῖς ἐπορεύθητε πρὸς μὲ πλάγιοι, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ἐν θυμῷ πλαγίῳ· λέγει Κύριος ὁ Θεός, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. 4, 7-15)

Ὁ Διάκονος

Σοφία, πρόσχωμεν.

Ὁ Ἀναγνώστης

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ὁ Διάκονος ἐκφωνεῖ

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Ἦχος α΄. Πα

Ὁ α΄ χορός·




Ὁ Διάκονος

Κύριε παντοκράτορ, ὁ Θεὸς …

Ὁ α΄ χορός, μεθ' ἑκάστην δέησιν.




Ὁ Διάκονος

Ἐλέησον ἡμᾶς, ὁ Θεός, …

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν…

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν…

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς …

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων …

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων …

εἰς δὲ τὴν τελευταίαν

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν διακονίαις ὄντων …




Ὁ Ἱερεύς

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Προεστώς·

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων. Ἀμήν.

Ὁ Διάκονος ἐκφωνεῖ

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ α΄ Χορός (μεθ' ἑκάστην δέησιν).

Ἦχος α΄. Πα










Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.




Ὁ Διάκονος

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Ὁ β΄ Χορός (μεθ' ἑκάστην άιτησιν).












Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως




μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄ Χορός.




Ὁ Ἱερεύς

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός.




Ὁ Ἱερεύς

Εἰρήνη πᾶσι.

Ὁ α΄ Χορός.




Ὁ Διάκονος

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.

Ὁ Χορός.




Ὁ Ἱερεύς μυστικῶς

Ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· Σοὶ γάρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ Σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντός ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Ὁ Ἱερεύς ἐκφώνως

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος Πα

Ὁ β΄ Χορός.




Ἀπόστικα




Ὁ α΄ Χορός.


Κυ ρι ος ε βα σι λευ σεν ευ πρε πει αν
ε νε δυ σα το ε νε δυ σα το Κυ ρι ος
δυ να μιν και πε ρι ε ζω σα το
(Ν) (Π)
Α γαλ λι α σθω η κτι σις ου ρα νοι οι ευ φραι νε σθω
(Π) (Ν) (Π)
σαν χει ρας κρο τει τω τα ε ε θνη μετ ευ φρο συ
νης ι δου γαρ ο Σω τηρ η μων τω Σταυ ρω προ ση λω σε
(Ζ)
τας α μαρ τι ι ας η μων και τον θα να τον νε κρω
(Π) (Κ) (Μ)
σας ζω ην η μι ιν ε δω ρη σα το πε πτω κο τα τον
Α δαμ παγ γε νη α να στη σας ως φι λα αν θρω ω πος

Ὁ β΄ Χορός.


(Π)
Και γαρ ε στε ρε ω σε την οι κου με νην η
τις ου σα λευ θη σε ται


Β α σι λευς υ παρ χων ου ρα νου και γης α κα τα λη πτε
ε κων ε σταυ ρω σαι δι α φι λαν θρω πι αν Ον ο
Α δης συ ναν τη σας κα τω θεν ε πι κραν θη και
δι και ων ψυ χαι δε ξα μεναι η γαλ λι α σαν το
Α δαμ δε ι δων Σε τον Κτι ι στην εν τοις κα τα χθο νι
οις α νε στη ω του θαυ μα τος πως θα να α του ε
γευ σα το η των α πα αν των ζω η αλλ η ως η βου
λη η θη κο σμον φω τι ι σαι κραυ γα ζον τα και λε
γον τα ο α να στας εκ των νε κρων Κυ ρι ε δο ο ξα α
Σοι

Ὁ α΄ Χορός.




Ἦχος λ/π Πα

Ὁ β´ Χορός.




(Π) (*) (Κ)
Θει α χα ρι ις α πη ω ρη
(Δ)
το ε πι τη θη κη των λει ψα γω
(Π)
των λει ψα γων σου
(Δ) (Π)
η γι α σμε νε Συ με ων
δι ο και εις ο σμην μυ ρου
(Μ) (Κ)
τω ων θα αυ
μα τω των θαυ μα τω ων σου δρα
(Δ)
μου με θα των νο ση μα τω ων τη ην ι
(Μ) (Δ)
α σιν α ρυ ο με νοι αλ
(Π) (Μ)




Ἦχος λ/π ϙ̈ Πα

Ὁ α΄ Χορός.




λω ων σω τη ρι αν και πα
ρα σχου φι λα πα ρα σχου φι λα
αν θρω πε τη γη
σου ε ευ φο ρι αν ευ κρα τους τους α
ε ρας χα ρι ζο με
νος τω πι στο τα τω βα σι λει
συμ πο λε μει κα τα α θε ων βα αρ
βα ρων ω ως πο τε τω Δα
βιδ ο τι ηλ θω σαν ου τοι εν σκη ναι
αις σου και τον Πα να γι ο ον το πον
ε μι α ναν Σω τερ αλλ αυ




## Ὁ Ἱερεύς

Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἠτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## Ὁ Ἀναγνώστης

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## Ὁ Ἱερεύς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος α'. Πα

Ὁ α´ Χορός.




Ἦχος β'. Δι

Ὁ β´ Χορὸς

Ἀπολυτίκιον τῆς Ἰνδίκτου




Ἦχος Πα

Ὁ α΄ Χορός.




Υ πο μο νης στυ λος γε γο νας ζη λω
σας τους Προ πα το ρας Υ σι ε τον Ι ωβ εν τοις πα
θε σι τον Ι ω σηφ εν τοις πει ρα σμοις και την των
Α σω μα των πο λι τει αν υ παρ χων εν σω μα τι
Συ με ων Πα τη ηρ η μων Υ σι ε πρε σβευ
ε Χρι στω τω Θε ω σω θη ναι τας ψυ χα η μων

Ὁ β´ Χορὸς


Και νυν και α ει και εις τους αι ω νας των αι ω
ω νων α μην
Χαι ρε Κε χα ρι τω με νη Θε ο το κε Παρ θε νε λι
μην και προ στα σι ι α του γε νους των αν θρω ω πων εκ
σου γαρ ε σαρ κω ω θη ο λυ τρω της του κο σμου μο




Ἀπόλυσις

ἐὰν προηγήθη ἀρτοκλασία

Ὁ Διάκονος ἤ Ὁ Ἱερεύς

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός.




Ὁ Ἱερεύς·

Εὐλογία Κυρίου καὶ ἔλεος…

ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία

Ὁ Διάκονος

Σοφία!

Ὁ λαός

Εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ἀκολούθως εἰς ἀμφοτέρας τὰς περιπτώσεις

Ὁ Προεστώς ἢ ὁ Ἀναγνώστης.

Ἀμήν.

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴ ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὁ Ἱερεύς (ποιεῖ ἀπόλυσιν)

Δόξα Σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα Σοι,

Ὁ Ἀναγνώστης.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Κύριε ἐλέησον (γ'), Πάτερ (ἢ Δέσποτα) ἅγιε, εὐλόγησον.

Ὁ Ιερεύς συνεχίζει

ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς τὴν Σύναξιν ἐν τῇ Μονῇ Μιασηνῶν ἑορτάζομεν, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου του Χρυσοστόμου, οὗ καὶ τὴν θείαν Λειτουργίαν ἐπιτελέσαμεν, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν, τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου καὶ Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου καὶ Ἱερομαρτύρων Χαραλάμπους και Ἐλευθερίου, τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ ἄννης, τ... Ἁγί... (τοῦ Ναοῦ), τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου, τοῦ Ἁγίου μάρτυρος Ἀειθαλᾶ, τῶν Ἁγίων τεσσαράκοντα Γυναικῶν, καὶ Ἀμμοῦν διακόνου καὶ διδασκάλου αὐτῶν, τῶν Ἁγίων μαρτύρων Καλλίστης, Εὐόδου καὶ Ἑρμογένους τῶν αὐταδέλφων, καὶ Ἰησοῦ τοῦ Ναυῆ, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Κατὰ τὴν διάρκειαν τῆς ἀπολύσεως, εἴθισται ὅπως ὁ Χορός ψάλλῃ τὸ ἑπόμενον·

Ἦχος β΄.




(Χοροστατοῦντος Ἐπισκόπου, λέγεται τὸ)




Ὁ Ἱερεύς (ἢ ὁ χοροστατῶν Ἀρχιερεύς) συνεχίζει

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ χορός.




(Χοροστατοῦντος Ἐπισκόπου, ὁ Ἱερεύς)

Δι' εὐχῶν τοῦ Ἁγίου Δεσπότου ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ χορός.



Ἐπιμέλεια
Βασίλειος Σταθόπουλος
Ἀντιστράτηγος ε.α. – Μαθηματικός
Πτυχιοῦχος Βυζαντινῆς Ἐκκλησιαστικῆς Μουσικῆς
Ἀθῆναι, Ἰούλιος 2024
stathovass@gmail.com